## Εὐαγόρας :

Ὁρῶν ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον τοῦ πατρὸς, οὐ μόνον τῷ
πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς
καὶ μουσικῇ, καὶ γυμνικοῖς ἀγῶσιν· ἔτι δὲ πρὸς τούτοις, ἵπ-
πων τε καὶ τριήρων ἁμίλλαις, καὶ λείποντα οὐδεμίαν τῶν
τοιούτων ὑπερβολὴν, ἡγησάμην Εὐαγόραν, εἴ τις ἐστὶν αἴσθησις
τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, εὐμενῶς
μὲν ἀποδέχεσθαι καὶ ταῦτα· καὶ χαίρειν ὁρῶντα, τήν τε
περὶ αὑτὸν ἐπιμέλειαν, καὶ τὴν σὴν μεγαλοπρέπειαν·
πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν, ἢ τοῖς ἄλλοις ἅπασιν·
εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν
κινδύνων, ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπραγμένων.
εὑρήσομεν γὰρ τοὺς φιλοτίμους· καὶ μεγαλοψύχους τῶν ἀνδρῶν,
οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους·
ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνῄσκειν εὐκλεῶς αἱρουμένους· καὶ
μᾶλλον περὶ τῆς δόξης, ἢ τοῦ βίου σπουδάζοντας· καὶ πάντα
ποιοῦντας· ὅπως ἀθάνατον τὴν περὶ αὑτῶν μνήμην
καταλείψουσιν· αἱ μὲν οὖν δαπάναι, τῶν μὲν τοιούτων, οὐδὲν
ἐξεργάζονται· τοῦ δὲ πλούτου σημεῖόν ἐστιν· οἱ δὲ περὶ
τὴν μουσικὴν, καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν, τὰς
δυνάμεις τὰς αὑτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι,
σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· ὁ δὲ λόγος, εἰ καλῶς
διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν
Εὐαγόρου, παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν· ἐχρῆν
μὲν οὖν, καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' αὑτῶν ἄνδρας,
ἀγαθοὺς γεγενημένους· ἵν' οἵ τε δυνάμενοι τὰ τῶν ἄλλων
ἔργα κοσμεῖν, ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους, ταῖς ἀλη-
θείαις ἐχρῶντο περὶ αὐτῶν· οἵ τε νεώτεροι φιλοτιμοτέρως

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

© Biblioteca Apostolica Vaticana

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_187/0100

The Polonsky Foundation